Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: owe-aa

*Ἀρχιγένης ὁ Ἀπαμεύς* · Archigenes of Apamea

# Unpublished Fragments

*Ἀδημοσίευτα Ἀποσπάσματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

68 (1t) δ . περὶ ἀποστήματος ἐν ἥπατι. Ἀρχιγένους. Εἰ δὲ πρὸς μεταβολὴν ἐπιτηδείως ἔχοι ἡ φλεγμονή, τουτέστιν ἀρχὴν μεταβολῆς ἤδη δέξοιτο πάντα τὰ προειρημένα, ἐπὶ τῆς φλεγμονῆς συμπτώματα ἐπιταθήσεται. λέγω δὴ τὰ ἀλγήματα ἢ πυρετοὶ ἢ παραφροσύνη ἢ ἄση ἢ ἀπορία ἢ ἀποστροφὴ πρὸς τὰ σιτία ἢ δυσαρέστησις. καὶ μάλιστα μετὰ τὴν προσφορὰν τῆς τροφῆς. ῥίγεα δὲ ὡς ἐπίπαν καταρρήξει τῶν ἐπισημασιῶν, καὶ μάλιστα ἐν ἑσπέρᾳ γενήσονται οἱ παροξυσμοί. συνεργεῖν οὖν χρὴ τῇ ταχείᾳ μεταβολῇ καὶ τῇ συρρήξει πρὸς τὸ μὴ μείζονα σώματα διαφθαρῆναι, καταπλάσμασιν χρώμενοι τοῖς διὰ λινοσπέρμον καὶ κριθίνου, καὶ τελέως κατασκευαζομένοις, παραμιγνυμένων αὐτοῖς ῥητίνης, μάννης, πίσσης, ἀλθαίας ῥίζης, κόπρου περιστερᾶς, σπυράθων αἰγός, ἰσχάδων καὶ τῶν ὁμοίων, πυρίαις δὲ ταῖς διὰ τῶν ὠμῶν χυλίσεων, καὶ ταῖς διὰ τῶν ἀποτεθλιμμένων σπόγγων εἰς ἀφέψημα, ἀψινθίου, ἁβροτόνου κενταυρίου καὶ τῶν ὁμοίων· οὐκ ἀνάρμοστοι δὲ οὐδὲ ἔμπλαστροι, αἱ τῇ μεταβολῇ συνεργοῦσαι. ὅταν δὲ τελεία μεταβολὴ γένηται, ὕφεσις γίνεται τῶν πόνων καὶ πραότερα πάντα φαίνεται τὰ συμπτώματα. πρὸς μέντοι τῷ τῆς ῥήξεως καιρῷ πάλιν ἐπὶ μᾶλλον ἐπιταθήσεται ἡ ὀδύνη· συναγωνίζεσθαι δὲ καὶ τότε χρὴ τῇ συρρήξει, καταπλάσμασι συνάγουσίν πως τὴν ἐπιφάνειαν καὶ ὑποστύφουσιν χρώμενοι ποτήμασίν τε θερμαντικοῖς, οἷά ἐστιν τὰ διὰ πεπέρεως καὶ σμύρνης σκευαζόμενα. μετὰ δὲ τὴν ῥῆξιν ποτὲ μὲν διὰ κοιλίας, ποτὲ δὲ δι’ οὔρων ἡ μετάληψις γίνεται. ἱστόρησαν δὲ ἔνιοι καὶ διὰ στομάχου ἀνενεχθὲν τὸ πύον, καὶ ἐστὶν κινδυνωδεστέρα τῶν ἄλλων ἡ διὰ τοῦ στομάχου μετάληψις. τὸ δὲ ἐκκρινόμενον μέλαν ἐστίν, ἐνίοτε δὲ καὶ λευκὸν εὑρίσκεται, ὃ καὶ σωτηριῶδες γίνεται. ἔστιν δὲ ὅτε μεταξὺ περιτοναίου καὶ ἐντέρων συλλέγεται τὸ ἀπορρέον ἀπὸ τοῦ ἀποστήματος ὑγρόν, καὶ ἐστὶν εὐθεράπευτον, ἐάν τις ταχέως διελὼν κομίσηται τὸ ὑγρὸν ἔξωθεν, ὅθεν κορυφοῦται. ἐνίοτε δὲ καὶ μετὰ τὸ ἐνταῦθα συναχθῆναι πάλιν ἡ μετάληψις δι’ ἐντέρων γίνεται. ἐπὶ μέντοι τῶν ἔξω κορυφουμένων ἐμβάλλειν χρὴ τὴν διαίρεσιν λοξὴν ὑπεράνω τοῦ βουβῶνος, καὶ διὰ ταύτης ἅμα μὲν κενοῦν τὸ ὑγρὸν ἅμα δὲ ἐγκλύζειν τὸ ἕλκος καὶ φάρμακα τηκτὰ ἐνιέναι μέχρι ἀποθεραπείας.

69 φροντίζειν μέντοι χρὴ ὅπως καὶ τῷ ἥπατι αὐτῷ προσάγηται βοηθήματα μετὰ τὴν ῥῆξιν. πρῶτον μὲν οὖν αἱ μαλακτικαὶ ἔμπλαστροι ἐπιτιθέσθωσαν, ἔπειτα αἱ ξηραντικαί, ὁποῖα ἐστὶν ‘Ικέσιος, ἢ δι’ ἰτεῶν, καὶ αἱ παραπλήσιοι. εἰ μέντοι δι’ οὔρων ἡ μετάληψις γένοιτο, ἐπιθέμασίν τε παραπλησίοις χρηστέον κατὰ τῆς λαγόνος ὅλης καὶ τοῦ ἐφηβαίου, καὶ συνεργητέον διά τε τροφῶν καὶ φαρμάκων διουρητικῶν τῇ ἀνακαθάρσει. πέπονες οὖν αὐτοῖς ἁρμόδιοι ἐσθιόμενοι

καὶ σικυοὶ ἑφθοί, σταφυλῖνός τε καὶ σίον, φαρμάκων δὲ τὸ μαῖον καὶ τὸ ἄσαρον καὶ στάχυς καὶ κασία καὶ κινάμωμον. ἔστιν δὲ καὶ σύνθετα πολλά, ὧν τὰς σκευασίας μετὰ βραχὺ ἐροῦμεν. ἐκ διαλειμμάτων δὲ καὶ καταγλυκαντέον τὰ ὑγρὰ διὰ πόσεως Σκυβελίτου, Θηραίου, προτρόπου, καὶ τῶν παραπλησίων· ἀγαθὴ δὲ καὶ ἡ γάλακτος ποσία ἐπ’ αὐτῶν γίνεται. εἰ δὲ διὰ τῆς ἕδρας ἡ μετάληψις τοῦ ὑγροῦ γίνεται, ἔπειτα μὲν διὰ τῆς αὐτῆς ὕλης δοκιμασθήσεται, πρόνοια δὲ ἔστω, ὥστε μήτε ἐπέχεσθαι τὴν κοιλίαν μήτε ἐπὶ πλέον καθυγραίνεσθαι. τοῦτο δὲ γίνεται διά τε τροφῶν καὶ φαρμάκων καὶ ἐπιθεμάτων· χρώμεθα δὲ ἐπὶ τούτων καὶ ἐνέμασιν διὰ κλυστέρων, ἀκάκωτα βουλόμενοι τηρεῖν τὰ ἔντερα. χυλοὶ οὖν ἔνθετοι πτισάνης ἢ τράγου καὶ ὀρύζης ἐνιέμενοι· εἰ μέντοι διὰ τοῦ στόματος ἀνάγοιτο, μάλιστα μὲν πεφροντικέναι δεῖ τοῦ ἀποκενοῦσθαι πρότερον τὰ ὑγρά, εἶτά τε τὴν τροφὴν προσφέρεσθαι στύφουσαν καὶ εὐστόμαχον, χρῆσθαι δὲ καὶ οἴνῳ εὐώδει λεπτῷ, ἐπιτιθέναι δὲ καὶ τῆς γαστρὸς τὰ διὰ φοινίκων σκευαζόμενα ἐπιθέματα, καὶ τὰ δι’ οἰνάνθης, καὶ τὰ ὅμοια, περὶ ὧν προείρηται ἐν τῷ περὶ στομαχικῶν καὶ δυσεντερικῶν λόγῳ. ε . θεραπεία ἡλκωμένου ἥπατος. Ἀρχιγένους. Ἑλκώσεως δὲ ἢ ἐξ ἀποστάσεως ὑπολειπομένης περὶ τὸ ἧπαρ, ἢ αὐτόθεν ἀπὸ δριμέων χυμῶν διαβιβρωσκόντων γινομένης, σύντηξις ὠνόμασται τὸ πάθος. ἐπὶ τούτων ἡ κοιλία ἐξάγει αἱματώδη καὶ σεσηπότα καὶ ἰχωρώδη παραπλήσια τοῖς ἀπορρέουσιν ἐκ τῶν νεκρῶν σωμάτων ἀπορρέοντα ἐκ τῶν ἐν τῷ ἥπατι ἑλκῶν, καὶ σοφίζεται τοὺς ἀπείρους δυσεντερίαν εἶναι. ἐρυγαὶ δὲ τούτοις δυσώδεις παρακολουθοῦσιν καὶ μετὰ τὴν τῶν σιτίων προσφορὰν βάρος περὶ τὰ ὑποχόνδρια. σφυγμὸς αὐτοῖς ταπεινοῦται καὶ πυκνοῦται, γίνονται δὲ καὶ πικροὶ καὶ θυμικοί, καὶ ὀδύνη ἑλκώδης περὶ τὸν τόπον γίνεται, διατείνουσα καὶ μέχρι κλειδός. πολλοῖς μετὰ τοῦ τὴν κοιλίαν ἐκδιδόναι καὶ οὖρα ἐκκρίνεται ἰχωρώδη σανδαραχίζουσαν ἔχοντα τὴν χροιάν. οὐκ ὀλιγάκις δὲ τὸ περιεχόμενον ἐν τοῖς οὔροις ὕδρωπος σημεῖον γίνεται. κινδυνωδέστατον δὲ πάντων ἐστὶν τὸ πάθος, καὶ ὀλίγαι ἐπ’ αὐτῶν σωτηρίας ἐλπίδες.

ὅμως ἐγχειρητέον τῇ θεραπείᾳ παραπλήσια βοηθήματα τοῖς πρὸ βράχεος, κἀπὶ τούτων παραλαμβάνοντες καὶ ἐπιθέματα τῆς ἠπίως παραστυφούσης ὕλης καὶ πυρίας παραπλησίους. ἐγκαθέψειν δὲ τοῖς ὑγροῖς τοῖς εἰς τὰς πυρίας καὶ καταπλάσματα παραλαμβανομένοις φλοιὸν πίτυος φοίνικας κύπερα καὶ τὰ ὅμοια. ἰδίως δὲ τὴν ἀνακάθαρσιν ποιεῖται γάλα σχιστὸν προσφερόμενον πλειστάκις, ἐνίοτε καὶ μέλιτος ἐλαχίστου προσλαβών, μετὰ δὲ τὴν ἀνακάθαρσιν σπεύδειν δεῖ ταχέως ἐπὶ τὸ σαρκοῦν. παρέχει δὲ τοῦτο ἡ τῶν τροφῶν συμμετρία τε καὶ εὐχυλία καὶ αἰώρα· εἰ δὲ ἐπιτρέποι τὰ πράγματα, καὶ γυμνάσια καὶ οἶνοι. μετὰ δὲ τὰ καταπλάσματα κηρωταὶ εὐθετήσωσιν, ὧν πλειστάκις ἐν τοῖς προλαβοῦσιν ἐμνημονεύσαμεν. πολλὰ δὲ καὶ πινόμενα ἐστὶν φάρμακα τὰ πρὸς ἕλκη ἁρμόζοντα, οἷον ἐστὶν τοῦτο Ἀνδρομάχου πρὸς ἡπατικούς. ἡ κυφοειδὴς καὶ πρὸς τὰ ἐν θώρακι πάντα· σταφίδων σαρκὸς < κε , κρόκου < α , καλάμου Ἰνδικοῦ < β , βδελλίου < β , κινναμώμου < α , κασίας < γ , σχοίνου ἄνθους < β , σμύρνης < δ , τερεβινθίνης < δ , ἀσπαλάθου ῥινήματος < β , ναρδοστάχυος < γ , μέλιτος < ις , οἴνου τὸ ἀρκοῦν, γλυκέος τὸ αὔταρκες. στύφει μετρίως καὶ ἀναξηραίνει μετρίως καὶ διαφορεῖ τοὺς μοχθηροὺς ἰχῶρας, φησὶν ὁ Γαληνός, καὶ ἐπανορθοῦται τὴν κακοχυμίαν καὶ ἐναντιοῦται ταῖς σηπεδόσιν. ἰᾶται τὰς δυσκρασίας, ῥίπτει τε καὶ ἀναστομοῖ καὶ καθαρὰς ἐργάζεται τὰς διεξόδους καὶ ἐπ’ οὖρα προτρέπει, καὶ τούτων χάριν θεραπεύειν ὠφελεῖ τὰς ἐντὸς ἑλκώσεις καὶ τοὺς ἡπατικοὺς καλουμένους. ἡπατικοὶ δὲ κυρίως ὀνομάζονται οἱ δι’ ἀτονίαν τοῦ ἥπατος ἐκκρίνοντες δι’ ἕδρας αἱματώδη ὑγρότερα, ὡς ἀποπλύματα κρεῶν νεοσφαγῶν, οὕστινας οἱ ἰδιῶται δυσεντερικοὺς εἶναι νομίζουσιν. Ἄλλη κυφοειδὴς Ἀνδρομάχου ποιεῖ καὶ πρὸς βῆχας καὶ ἀναγωγὰς ὑγρῶν κρόκου, κινναμώμου, σμύρνης ἀνὰ < α , βδελλίου < δ , ἀσπαλάθου τετρώβολον, σχοίνου ἄνθους < γ , καλάμου Ἰνδικοῦ < β , κασίας < α , ναρδοστάχυος < α , τερεβινθίνης < ις , μέλιτος κατὰ κοτύλης C, σταφίδων λιπαρῶν < ρξ τὰς σάρκας κεκαθαρμένας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἴνου παλαιοῦ στύφοντος τὸ ἀρκοῦν εἰς τὸ βρέξαι τὴν σταφίδα καὶ τὸ βδέλλιον καὶ τὴν σμύρνην. καὶ λεάνας, τὸ δὲ μέλι προαπαφρίσας καὶ τήξας αὐτῷ τὴν ῥητίνην καὶ ἑνώσας τοῖς λοιποῖς, χρῶ ποτὲ μὲν ὡς ἔλιγμα διδοὺς ὅσον καρύου Ποντικοῦ μέγεθος, ἢ καὶ πλέον, ποτὲ δὲ λύων μελικράτῳ καὶ πίνειν διδούς. εὑρήσεις δ' ἔν τε τοῖς ἀρτηριακοῖς βοηθήμασι καὶ τοῖς βηχικοῖς καὶ φθισικοῖς βοηθήματα πλεῖστα τούτοις παραπλήσια, οἷς καὶ αὐτοῖς δεῖ κἀπὶ τῶν ἡλκωμένων τὸ ἧπαρ κεχρῆσθαι, καὶ τοῖς πρὸς τὰ ἐν νεφροῖς καὶ κύστει ἕλκη γραφεῖσιν. ιζ .

71 (1t) περὶ καχεξίας. Ἀρχιγένους. Ἀνάχυσις τῆς ἕξεως ἐπὶ τὸ ὑδερῶδες ἐστὶν ἡ καχεξία, καθ' ἣν σομφοῦται τὸ ὅλον σύγκριμα καὶ γίνεται κατάδηλον μάλιστα ἐκ τῶν ὕπνων ἀνωμάλων γινομένων, λευκόχλωρόν τε ἀποτελεῖται τὸ σύμπαν σῶμα καὶ ἄτονον, παραφερομένων ἐν ταῖς βαδίσεσιν τῶν σκελῶν. καὶ κατ' ἀρχὰς μὲν αἱ πέψεις ἐμποδίζονται, τῆς ὀρέξεως παραμενούσης, ὕστερον δὲ καὶ ἀνόρεκτοι γίνονται, ἀναπνοή τε αὐτοῖς ἀραιὰ καὶ ἄτονος πυκνουμένη ἐν ταῖς κινήσεσιν καὶ ταῖς ἐνεργείαις, ἐκδίδωσιν δὲ ἡ κοιλία ἀνώμαλα. συνίσταται δὲ τὸ πάθος ἐκ μακρονοσίας, τὰ πλεῖστα ἤδη δὲ καὶ σκιρώσει σπλάγχνου τινὸς ἐπιγίνεται, καὶ μάλιστα σπληνὸς καὶ ἥπατος, οὐκ ἔλαττον δὲ ἐπὶ δυσεντερίᾳ γίνεται χρονίᾳ καὶ κοιλιακαῖς διαθέσεσιν καὶ ἐπὶ συνήθους τινὸς ἐκκρίσεως ἐποχῇ. ἁλίσκονται δὲ τῷ πάθει μάλιστα μὲν οἱ γέροντες, οἳ καὶ μόλις ἀπαλλάττονται, ἤδη δὲ καὶ παιδία, ἃ καὶ ῥαδίως ἀπόλλυνται διὰ τὴν ἀσθένειαν τοῦ ζωτικοῦ τόνου, καὶ ὅτι εὐδιαφόρητα. οἱ μέντοι ἀκμάζοντες καὶ ἀραιῶς ἐμπίπτουσιν καὶ εὐχερῶς ἐκπηδῶσιν. χρονίσαν δὲ τὸ πάθος εἰς τὸν ἀνὰ σάρκα ὕδερον μεταπίπτει. θεραπεύοντας δέ, εἰ μὲν δι' ἐποχὴν συνήθους ἐκκρίσεως γένοιτο τὸ πάθος, ἀναμιμνήσκειν δεῖ τὴν ἔκκρισιν ἢ φλέβα τέμνειν τὴν ἐν ἀγκῶνι, εἰ μηδὲν κωλύοι, κενοῦν δὲ κατὰ βραχὺ μεμερισμένως μέχρι ἡμερῶν τριῶν ποιοῦντας ἀφαιρέσεις. κωλυομένης δὲ τῆς φλεβοτομίας, καθαρτέον αὐτοὺς καταλλήλῳ καθαρτηρίῳ, καὶ μάλιστα τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Ἀρχιγένους. εἰ δὲ ἧπαρ εἴη τὸ πεπονθὸς ἢ ἕτερόν τι τῶν ἐντοσθιδίων, δεήσει τοῦτο ἐξιάσασθαι διὰ τῶν ἐφ' ἑκάστου προρρηθέντων βοηθημάτων. μετὰ δὲ τὴν τοπικὴν ἐπιμέλειαν ἐπὶ τὴν ἀναληπτικὴν ἄγειν ἀγωγήν, δι' ἧς ἐλπὶς εἰς ἀποκατάστασιν ἀχθήσεσθαι τοὺς περιπεσόντας τῷ πάθει. κείσθω δὲ ἡ ἀναληπτικὴ ἀγωγὴ ἐν περιπάτοις συμμέτροις, αἰώραις, ἀναφωνήσεσιν, ξηροτριβίαις δι' ὠμολίνων, ἔπειτα καταλοιφαῖς δι' ἐλαίου γινομέναις, μετέχοντος τινὸς τῶν ἐξικμαζόντων, οἷον νίτρου ἁλῶν, εἶτα καὶ τὰ γυμνάσια σύμμετρα. εἰς ἀποθεραπείαν δὲ κόπου καὶ βαλανεῖον ἐκ διαλειμμάτων τινῶν παραλαμβανέσθω. εἰ δέ τινες συνεθισθῆναι ψυχρολουσίᾳ δύνοιντο, ἐπὶ τὸ μὲν ἂν ποιήσαιντο δι' αὐτῆς θεραπείας, καὶ αὐτοφυῆ δέ τινα θερμὰ ὕδατα παρακολουθήσειεν ἂν αὐτοῖς εἰς ῥῶσιν καὶ ἀνάληψιν, οἷά ἐστιν τὰ στυπτηριώδη καὶ θειώδη καὶ νιτρώδη. θαυμαστῶς δὲ ὀνίνησιν αὐτοὺς καὶ προποτισμὸς συνεχὴς ἀψινθίου καὶ δρώπακες. τροφαὶ δὲ ἁπλαῖ καὶ εὐδιοίκητοι ἔστωσαν, ὀλίγον ἔχουσαι ἡδύσματος, ἕνεκεν τοῦ τῶν λαχάνων γένους, καὶ εἰ δέοι ἄρα δι' αὐτῶν οὖρα κινῆσαι καὶ κοιλίαν ὑπομαλάξαι, οἶνον λεπτὸν καὶ εὐώδη δοτέον. παραιτητέον δὲ πᾶν τράγημα, πᾶν κνισόν, πᾶν βρωμῶδες, πᾶν παχὺ χυμὸν καὶ γλίσχρον καὶ δυσδιοίκητον ἐν τροφαῖς. κε .

72 (1t) κοινὴ δίαιτα πάντων τῶν ὑδρωπικῶν. Ἀρχιγένους. Μετὰ δὲ τὰ καθημερινὰ γυμνάσια κοινὴ ἐπὶ πάντων τῶν ὑδρωπικῶν δίαιτα τοιαύτη ἔστω. ἀπὸ ξηροφαγίας τὴν ἀρχὴν ποιησόμεθα, εἰ δέ ποτε ἄρα δίψεως ἐπιτεταμένον εἴη, ὀλίγον διδόντας προπίνειν παρηγορίας χάριν. ἔστω δὲ καὶ ἡ σύμπασα τροφὴ εὐδιοίκητος μὲν καὶ συνεστραμμένη αὐτάρκως—ἡ γὰρ ἔκλυτος ἐπιτηδείως ἔχει πρὸς ἐξυδάτωσιν—, κεῖται δὲ ἐν ἄρτοις καλλίστοις κλιβανίταις ἁλὸς καὶ ἄμεως καὶ μαράθρου μετέχουσιν. κοχλίαι ὀπτοὶ καὶ ᾠὰ ὀπτά, ὄρνιθες τῶν ξηροτέρων, οἷον πέρδικες ἢ ὄρτυγες, τρυγόνες, χερσαίων δὲ λαγώς, αἴγαγρος, δορκάδες, τῶν δὲ ἡμέρων τὰ ἀκροκώλια τῶν συῶν, τῶν δὲ ἐνύδρων καρκίνοι, κάραβοι, ἐχῖνοι πρόσφατοι, καρίδες. λαχάνων δὲ σπανία ἡ χρῆσις, τὰ δὲ προσφερόμενα δριμύτερα ἔστω, καὶ μᾶλλον τὰ ἄγρια, οἷον κορωνόπους, ἠρυγγίς,

σταφυλῖνος, κεφαλωτὰ πράσα, σκόρδα ἑφθά, ὀσπρίων δὲ ἀπεχέσθωσαν. ἔμβαμμα δὲ ὄξος μετὰ πεπέρεως καὶ λασαρίου ἢ τῶν ὀξυπόρων, τινὰ τῶν ἐπὶ κωλικῶν προγεγραμμένων, ἅλες ἔστωσαν διὰ λιβανωτίδος, μαράθρου, ὑσσώπου, σιλφίου, λιγυστικοῦ, καὶ σελίνου σπέρμα συγκείμενοι. πῶμα δὲ μετὰ πᾶσαν τροφὴν διδόναι ὅσον ἐς τὸ πόσεως θραῦσαι τὴν δίψαν — ἄθετος γὰρ ἐπ' αὐτῶν ἡ πολυποσία—, τὴν δὲ πλείονα μοῖραν τῶν σιτίων ἐν τῷ δείπνῳ λαμβανέτωσαν. παραιτεῖσθαι δὲ χρὴ πᾶν πέμμα διὰ σεμιδάλεως καὶ γλυκέος σκευαζόμενα καὶ τὰ πλεῖστα τῆς ὀπώρας καὶ τῶν τραγημάτων. μεταδοτέον γὰρ φοίνικας τῶν καρύων, ἀμύγδαλα σταφυλῆς τῆς κρεμαστῆς, ῥοιάς, ἄπιον ἑφθήν, ἰσχάδας, πάντα σύμμετρα, καὶ μὴ πάντα καθ' ἡμέραν. οἶνος ἔστω λεπτός, διουρητικός· τοὺς δὲ γλυκεῖς οἴνους καὶ τὸ οἰνόμελι παραιτητέον. ἡ κοίτη δὲ μὴ πάνυ ἁπαλὴ ἔστω, μάλιστα ἐπὶ τῶν ἀνὰ σάρκα ὑδέρων, ὑποστροννύσθω δὲ καλάμων φύλλα καὶ αἱ ξηραίνουσαι βοτάναι, οἷον ἄγνος, γλήχων, καλαμίνθη καὶ τὰ ὅμοια· θαυμαστὸν γὰρ ὅπως ἐξικμάζοι κατὰ τοὺς ὕπνους, ὥστε ἤδη τινὲς καὶ σωροῖς τοῖς ἀπὸ σίτου ἐγκρυφθέντες ἀνέστησαν μετὰ τὸν ὕπνον ἐσταφιδωμένοι. καὶ τὰ ἐπιβόλαια δὲ τραχύτερα ἔστω, εὔκρατος δὲ πρὸς τὴν ὥραν τοῦ ἔτους καὶ ὁ οἶκος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org